καὶ διὰ ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ πίπτουσιν. ἐὰν δὲ συμβῇ τὸ ἐναντίον ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. ὅταν δὲ πάλιν νικήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν φύλλα γλαυκά, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ ἐπὶ τῶν ἐλαιῶν καὶ τῶν μυρσινῶν, καὶ τῶν λοιπῶν. ὁπόταν δὲ ἔχωσι τὰ δένδρα καὶ τὰ φυτὰ δύναμιν τοῦ ἕλκειν σφοδράς, γίνεται καρποφορία ὁμοῦ· ἥτις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέψει κατὰ διαδοχὴν συχνῇ, καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προάγει πολύν. καὶ διὰ τοῦτο τινὰ φυτὰ καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσι. τὸ δὲ φυτὸν ὅπερ ἐστὶν ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ, διὰ τὴν ἐπικράτειαν τῆς ὑγρότητος αὐτοῦ, καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων, καὶ τὴν ἀπόρροιαν τῶν ἰδίων ῥιζῶν. ὅτε δὲ ἰσχυροποιηθῇ τὸ θερμόν, ταχύνεται ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης, καὶ συμπήγνυται· [οὐδὲ οὕτως πάλιν γίνεσθαι συμβαίνει·] καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις. φαιότης δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος, διότι εἰσὶ στενοὶ οἱ πόροι. ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσαν ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενότεροι. ἐπαναστρέφει γοῦν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. καὶ ὅτε τοῦτο τοιουτοτρόπως γίνηται, τότε τὸ ξύλον φθάνει γενέσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τοῦ φαιοῦ· καὶ τοῦτο ἐστὶν ἰδεῖν ἀπὸ τοῦ ἐβένου καὶ τῆς πτελέας. ὁ δὲ ἔβενος καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσι συμπεπηγότα, καὶ οἱ πόροι στενοί, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. ὁ δὲ ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων καὶ τὴν περιττότητα τῆς ὑγρότητος, τῆς βυούσης τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. τὸ δὲ ἄνθος, ἐκ λεπτῆς ὕλης μόνον ἐστίν, ὅταν ἄρχηται ἡ πέψις· καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. ἐντεῦθεν οὖν δεικνύομεν καὶ τὴν αἰτίαν, δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. ὁ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔστιν ἐν χρώματι σαπφειρίνῳ, καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη εἰς λευκότητά τινα. ὅταν δὲ εἰς εὐκρασίαν φθάσῃ, ἔστι γλαυκόν.

A cum folia materiam non habeant, ſiccantur,& decidunt.Quod ſi contrà quàm diximus,contingat, non cadit planta in foliorum ſuorum priuationem.Cùm autem plantam frigus vicerit, calefacit eam incluſa illi caliditas, & manifeſtatio frigoris foris fit per ipſius extrema, inde folia glauca fiunt, neque cadunt, vt in oleis,ac myrtis,ſimilibúſque. Sed cùm habuerint arbores, vel plantæ virtutem B vehementer attrahentem, fructus quoque vnà editur. Id quod fit, quia Natura concoctione per ſucceſſionem crebra vtitur, & per vnamquanque concoctionem fructum multum producit. Et ideo quædam plantæ ſæpe in anno fructificant. Planta verò quæ veluti natura aquæ eſt, vix fructificat, propter dominium humiditatis ſuæ, & meatuum amplitudinem, fluxibilitatémque radicum. Cùm autem C calor incaluerit, acceleratur eius digeſtio,& attenuatur humor,coagulatúrque. Et iſtud inuenitur in herbis minutis omnibus, & in quibuſdam holeribus. Color autem venetus in terris vehementer calidis fieri conſueuit: & eſt in talibus exiguus fructus ex humore,quòd meatus anguſti ſint. Dum itaque natura concoctionem molitur, non habentem humorem, qui materiæ ſufficiat, fient tum meatus D anguſti. Vertitur itaque digeſtio, continentémque eam calor facit, & videtur tum inter albedinem & nigredinem color medius. Et cùm iſtud hoc pacto fiat, tum lignum in nigredinem properat, & quicquid colori veneto fuerit vicinum. Iſthuc videre licet ab hebeno, & vlmo. Eáque propter in aqua hebenus mergitur, quia partes eius compactæ ſunt, & meatus anguſti, nec illos aer ingreditur. Quod E verò è lignis albis mergitur, propter anguſtiam meatuum erit, & humorem ſuperfluum, qui ipſos obturat, vt non exeat aer.Flos è ſubtili materia tantùm eſt,cùm digeſtio incipit,& ideo fructum in plantis præcedit,vt oſtendimus.Indidem cauſam quoque docuimus, ob quam plantæ folia priùs producant, quàm fructus: qui verò in planta ſtridentes meatus habente, co-F lor fit, ſub cæruleo eſt: & quando partes eius comprimuntur, in albedinem declinat:cùm fuerit mediocritas, glaucus erit.